## XVII (37)

ὁ Λύκτιος Μενίτας
τὰ τόξα ταῦτ' ἐπειπών
ἔθηκε, "τῆ, κέρας τοι
δίδωμι καὶ φαρέτρην,
Σάραπι· τοὺς δ' ὀιστούς
ἔχουσιν Ἑσπερῖται."

## XVIII (57)

Ἰναχίης ἕστηκεν ἐν Ἴσιδος ἡ Θάλεω παῖς
Αἰσχυλὶς Εἰρήνης μητρὸς ὑποσχεσίῃ.

## XIX (39)

Δήμητρι τῇ Πυλαίῃ,
τῇ τοῦτον οὐκ Πελασγῶν
Ἀκρίσιος τὸν νηὸν ἐδείματο, ταῦθ' ὁ Ναυκρατίτης
καὶ τῇ κάτω θυγατρί
τὰ δῶρα Τιμόδημος
εἵσατο τῶν κερδέων δεκατεύματα· καὶ γὰρ εὔξαθ' οὕτως.

## XX (38)

τὰ δῶρα τἀφροδίτῃ
Σῖμον ἡ περίφοιτος, εἰκόν' αὐτῆς